# ΕΓΚΩΜΙΑ

## ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΚΑΛΛΙΝΙΚΟΝ ΜΗΤΡΟΠΟΛΙΤΗΝ ΕΔΕΣΣΗΣ

Αἱ ἀκροστιχίδες κατ᾽ ἀλφάβητον

**Ποίημα τοῦ Μητροπολίτου**
**Ἐδέσσης Πέλλης καὶ Ἀλμωπίας Ἰωήλ**

## ΣΤΑΣΙΣ Α′

**Ἡ** ζωὴ ἐν τάφῳ. Ἦχος πλ. α′

Ἀρχιερατείαν,
κατὰ πάντα σεπτήν,
ἐπεδείξω ἐν Ἐδέσσῃ **Καλλίνικε**,
Ἐκκλησίας ὁ ποιμὴν ὁ εὐλαβής.

**Β**ιοτὴν ἐκ παίδων,
ἡλικίας σεμνήν,
βοηθείᾳ τῶν ἁπλῶν γεννητόρων σου,
ἐπεδίωξας **Καλλίνικε** σεπτέ.

**Γ**ηπονήσας πάτερ,
τοῦ **Χριστοῦ** ἀρεταῖς,
τῆς ψυχῆς σου τὸ εὐῶδες γεώργιον,
ἀπεκτήσω χαρισμάτων τὴν πληθύν.

**Δ**ένδρον ὤφθης μάκαρ,
**Α**ἰτωλίας λαμπρόν,
τὸ βλαστῆσαν **Π**αρακλήτου καρπώματα,
καὶ ἐκθρέψαν τὸν Ὀρθόδοξον λαόν.

**Ἔ**χων ὑποφήτην,
τῆς λατρείας **Χ**ριστοῦ,
τὸν σὸν πάππον Ἀθανάσιον Ἅγιε,
καθ᾽ ἑκάστην ὑμνολόγεις τὸν Θεόν.

**Ζ**ήσας ὡς ἁρμόζει,
τοῖς ἀνθρώποις Χριστοῦ,
τὸν σὸν νοῦν πρὸς οὐρανὸν ἐπεστήριξας,
ὡσεὶ ἄγγελος **Κ**αλλίνικε σεμνέ.

**Ἡ Σ**ιταραλώνων,
κώμη χαίρει σφοδρῶς,
ὅτι ἤνεγκεν υἱόν σε πανεύφημε,
τῆς Ἐδέσσης τὸν ποιμένα τὸν καλόν.

**Θ**ησαυρὸς ἐδείχθη,
ὁ σὸς τάφος ἡμῖν,
χορηγῶν τοῖς ἀλγουμένοις τὴν ἴασιν,
καὶ παρέχων τοῖς νοσοῦσι γλυκασμόν.

**Ἱ**ερεὺς παμμάκαρ,
τοῦ **Σ**ωτῆρος ἡμῶν,
κατεστάθης ταῖς χερσὶν αὐταδέλφου σου,
**Κ**ωνσταντίνου Ἀρχιθύτου τοῦ **Χ**ριστοῦ.

**Κ**οσμηθεὶς θεόφρον,
πολλαπλαῖς ἀρεταῖς,

τὸ σωτήριον ἀπήγγειλας κήρυγμα,
ἐν ταῖς κώμαις Ἀκαρνάνων κραταιῶς.

Λειτουργὸς Ὑψίστου,
γεγονὼς τοῖς πιστοῖς,
πρὸς νομὰς τὰς ψυχοτρόφους ὡδήγησας,
τῷ σῷ ἤθει καὶ τῷ λόγῳ τῷ σεμνῷ.

Μεμαρτυρημένην,
ὀρθοδόξων ζωήν,
ἐν τῇ γῇ τῆς Αἰτωλίας ἐπέδειξας,
ὠφελήσας τὴν χορείαν τῶν πιστῶν.

Νέος ὤφθης πάτερ,
ἐν πατρίδι τῇ σῇ,
τοῦ Κοσμᾶ τοῦ Αἰτωλοῦ ὁ ὁμόηθος,
καὶ διάδοχος ἐν ἔργοις ἀγαθοῖς.

Ξένος πάτερ ἦσθα,
τῶν ῥεόντων τῆς γῆς,
διὸ πάντοτε ἐδίδους Καλλίνικε,
τοῖς συνοῦσί σοι πρὸς βίον εὐσεβῆ.

Ὁ σὸς θεῖος λόγος,
ἠρτυμένος σοφέ,
Παρακλήτου ἐνεργείαις Καλλίνικε,
πρὸς μετάνοιαν ἐκίνει τοὺς πιστούς.

Πειρασμῶν ὀχλήσεις,
τοῦ ἀρχαίου ἐχθροῦ,
διεσκέδασας ῥοπῇ τοῦ Παντάνακτος,
καὶ ἐδόξασας τὸ ὄνομα Χριστοῦ.

Ῥώμην πάτερ ἔχων,
Ἰησοῦ τοῦ Θεοῦ,
ἐν τοῖς χρόνοις τοῖς ἐσχάτοις Καλλίνικε,
εὐθαρσῶς διακηρύττεις τὸν Χριστόν.

Σωστικαῖς εὐχαῖς σου,
πρὸς Χριστὸν τὸν λαόν,
Ἀκαρνάνων διαφύλαττε πάντοτε,
ἐκ ποικίλων νοσημάτων καὶ κακῶν.

Τειχισθεὶς παμμάκαρ,
πανοπλίᾳ Χριστοῦ,
τὰ ἀντίθεα ἀπέκρουσας ῥήματα,
κακοτρόπων καὶ δεινῶν αἱρετικῶν.

Ὑπὸ σοῦ τὰ πλήθη,
ὀρθοδόξων πιστῶν,
πρὸς μετάνοιαν Καλλίνικε ἅγιε,
ὡδηγήθησαν τοῖς λόγοις σου σοφέ.

Φωτοφόρος ὄντως,
τοῦ Χριστοῦ ταῖς αὐγαῖς,
ἐπεγνώσθης καταυγάζων Καλλίνικε,
τοὺς συνόντας σοι ἐν πίστει ἀληθεῖ.

Χρηματίσας πάτερ,
τὸ δοχεῖον Χριστοῦ,
τοῖς χαρίσμασι τοῖς σοῖς καθωδήγησας,
ἱερέας Μητροπόλεως τῆς σῆς.

Ψαλμικῶς βοῶμεν,
πρὸς Δεσπότην Χριστόν,

ἐπακοῦσαι τὰς λιτάς σου **Κ**αλλίνικε,
ὑπὲρ πάντων τῶν τιμώντων σε θερμῶς.

**Ὡ**ς **Κ**οσμᾶς ὁ κῆρυξ,
**Α**ἰτωλὸς πανταχοῦ,
τοῦ **Σ**ωτῆρος διδαχὴν ὡμολόγησας,
καὶ διέλυσας τὸ σκότος τοῦ ἐχθροῦ.

Δόξα.
**Ὦ Τ**ριὰς **Ἁ**γία,
ταῖς ἁγίαις λιταῖς,
**Κ**αλλινίκου **Ἐ**πισκόπου διάσωσον,
τὸν λαόν σου ἐξ αἱρέσεων δεινῶν.

**Κ**αὶ νῦν.
**Μ**ῆτερ **Θ**εοτόκε,
μὴ παρίδῃς ἡμῶν,
τὰς δεήσεις τῶν σῶν δούλων χαρίζουσα,
τὴν εἰρήνην τῶν ψυχῶν ἡμῶν ἁγνή.

# ΣΤΑΣΙΣ Β΄

Ἄξιόν ἐστι. Ἦχος πλ. α΄

**Ἄ**ξιόν ἐστι,
ἀναβῆναί σε ἐν τῇ καθέδρᾳ,
τῶν Ἀρχιερέων πάτερ **Κ**αλλίνικε,
καὶ ποιμᾶναι τῆς Ἐδέσσης τὸν λαόν.

**Β**λάστημα ὀφθείς,
**Α**ἰτωλίας πολυφήμου πάτερ,
ἐν **Μ**ακεδονίᾳ ὄντως ἐβλάστησας,
ποιμανσίας τοὺς καρποὺς εἰς ἑκατόν.

**Γ**έγονας ποιμήν,
τῆς Ἐδέσσης καὶ τῆς Ἀλμωπίας,
ἅμα δὲ καὶ **Π**έλλης μάκαρ **Κ**αλλίνικε,
ποδηγῶν εἰς οὐρανοὺς πλήθη **Χ**ριστοῦ.

**Δ**έδεξαι πολλάς,
χορηγίας **Π**αρακλήτου **Π**άτερ,
ἃς καὶ καθ᾽ ἑκάστην πιστοῖς διένειμας,
ὡς ποτὲ τοῖς **Α**ἰγυπτίοις Ἰωσήφ.

**Ἔ**χει οὐρανός,
τὴν ψυχήν σου μετὰ τῶν Ἁγίων,
ἔχει δὲ καὶ Ἔδεσσα πάτερ Ἅγιε,
τὸν σὸν τάφον ὥσπερ ὄλβον θαυμαστόν.

**Ζ**ήσας ἐπὶ γῆς,
ὥσπερ ἄπορος **Χ**ριστοῦ παμμάκαρ,

ἀλλὰ τοὺς πτωχοὺς ὁμοῦ καὶ τοὺς πένητας,
ὥσπερ ἄγγελος ἐφρόντισας καλῶς.

Ἦρας γεγηθώς,
τῆς σῆς ποίμνης τὸ ποικίλον βάρος,
καὶ ἐδοξολόγεις πάτερ Καλλίνικε,
Ἀρχιποίμενα Χριστὸν τὸν Λυτρωτήν.

Θέλων ἱερέ,
τὴν λαχοῦσάν σοι ἐν τῇ Ἐδέσσῃ,
ποίμνην παραδείσου τμῆμα γενέσθαι ἔτρεχες,
καθ᾽ ἑκάστην κατηχῆσαι τὸν λαόν.

Ἵνα τὸν λαόν,
Μητροπόλεως τῆς σῆς διδάξῃς,
πόλεις καὶ χωρία διῆλθες Ἅγιε,
καὶ ἐκήρυττες τὸν λόγον τοῦ Θεοῦ.

Κλῆρον καὶ λαόν,
ὡς Ἐπίσκοπος συχνῶς στηρίζεις,
λόγοις θεοπνεύστοις σου πάτερ Ἅγιε,
παραμένειν ἐν τῇ πίστει τοῦ Χριστοῦ.

Λύμην εἰδεχθῆ,
τῶν αἱρέσεων καταδιώκεις,
ἅγιε Καλλίνικε ὡς ὁ ἄγρυπνος,
ὀρθοδόξων διδαχῶν φρουρὸς στεῤῥός.

Μῆνιν κατὰ σοῦ,
κακοτρόπων διαλύεις ὄντως,
τοῖς ἀνεξικάκοις σου τρόποις Ἅγιε,
τὴν εἰρήνην παρεχόμενος αὐτοῖς.

**Ν**ῦν οἱ εὐσεβεῖς,
ἐν **Ἐ**δέσσῃ τε καὶ **Π**έλλῃ πάντες,
σὺν τῇ **Ἀ**λμωπίᾳ σοφὲ **Κ**αλλίνικε,
τὸν σὸν βίον ἀνυμνοῦσι μελικῶς.

Ξένος ἀληθῶς,
καὶ ἀντίθετος πάντῃ ἐγένου,
τῇ ὀρθῇ σου γνώμῃ πάτερ **Κ**αλλίνικε,
τῶν χρημάτων καὶ τῶν ἄλλων ἀγαθῶν.

**Ὅ**λος τῷ **Χ**ριστῷ,
ὡς **Ἐ**πίσκοπος καὶ ποιμενάρχης,
σεαυτὸν ἀνέθου θεομακάριστε,
διὸ γέγονας ἁγίοις κοινωνός.

**Π**ᾶσα τοῦ **Χ**ριστοῦ,
ἡ **Μ**ητρόπολις ἐν τῇ **Ἐ**δέσσῃ,
ὥσπερ ἀμπελὼν σεμνὲ ἡ πολύφορος,
καταρδεύεται πλουσίως ὑπὸ σοῦ.

**Ῥ**έει ποταμός,
ἐκ τοῦ στόματος τοῦ σοῦ ῥημάτων,
καὶ παιδαγωγεῖς τῶν νέων ἀθροίσματα,
ἀσπαζόμενα τὴν χεῖρά σου σεμνῶς.

Στύλος ἀῤῥαγής,
τῆς ἐνδόξου σου πατρίδος πάτερ,
ἐπ᾽ ἐσχάτων ὤφθης σῶφρον **Κ**αλλίνικε,
ἐπινοίας ψευδολόγων κατασπῶν.

**Τ**ύπος τῶν πιστῶν,
ἐγεγόνεις τῷ σῷ βίῳ μάκαρ,

ἐν νηστείαις τε καὶ θείαις ἐντεύξεσι,
τὰς ἡμέρας σου διάγων ἐπὶ γῆς.

Ὕψος παλαιῶν,
ἁγιότητος Πατέρων φθάσας,
τὸ κοινὸν βραβεῖον τῆς ἄνω κλήσεως,
προσλαμβάνεις ἐπαξίως ἐκ Θεοῦ.

Φῶς ἀληθινόν,
ἱερεῦσι τοῦ Χριστοῦ ἐφάνης,
ἄριστα παιδεύων αὐτοὺς Καλλίνικε,
ἐν συνάξεσι καὶ θείαις διδαχαῖς.

Χεῖρας πρὸς Χριστόν,
ἀνυψοῖς ὑπὲρ τοῦ σοῦ ποιμνίου,
τῆς Ἐδέσσης Πέλλης πάτερ Καλλίνικε,
καὶ ὁμοῦ τῆς Ἀλμωπίας τῆς κλεινῆς.

Ψάλλομεν φαιδρῶς,
ἐν τῇ μνήμῃ σου τῇ λαμπροφόρῳ,
καὶ αἰτοῦμεν πάντες σεμνὲ Καλλίνικε,
μὴ ἐλλείπῃς προστατεύων τὸν λαόν.

Ὢ τοῦ σοῦ φωτός,
τοῦ αὐγάζοντος πιστῶν ἀγέλας,
ἐν τῷ εἰκοστῷ αἰῶνι πάτερ Καλλίνικε,
καὶ δεικνύον εὐσεβείας τὴν ὁδόν.

Δόξα.

Ἄναρχε Θεέ,
καὶ συνάναρχε Λόγε καὶ Πνεῦμα,

δέξαι τὴν πρεσβείαν τοῦ Ἀρχιθύτου Σου,
ὑπὲρ πάσης τῆς αὐτοῦ Ἐπισκοπῆς.

**Καὶ νῦν.**

Μῆτερ τοῦ Χριστοῦ,
καὶ Καλλίνικε ποιμὴν Ἐδέσσης,
δέξασθε τοὺς ὕμνους καὶ ᾄσματα,
τῶν οἰκούντων ἐν Ἐδέσσῃ εὐμενῶς.

# ΣΤΑΣΙΣ Γ΄

## Αἱ γενεαὶ πᾶσαι. Ἦχος γ΄

Αἱ γενεαὶ πᾶσαι,
ὑμνολογοῦσι πάτερ,
Καλλίνικε σὴν μνήμην.

Βαστάσας ἀγογγύστως,
τὸ βάρος ἀσθενείας,
τῆς σῆς ὡς ἄστρον φέγγεις.

Γέγονας ἀλείπτης,
τῶν θείων τοῖς ἀνθρώποις,
ἐν τῇ Ἐδέσσῃ πάτερ.

Δῆμος τῶν ὁσίων,
ἐν χώρᾳ παραδείσου,
προσδέχεταί σε πάτερ.

Ἔσχηκας τὸ στέφος,
τῶν ἀγωνιζομένων,
τῆς πίστεως θεόφρον.

Ζηλώσας τῶν Ἁγίων,
τὸν βίον ἐμιμήσω,
αὐτῶν πνευματοφόρε.

Ἡδέως Ἀλμωπίας,
ἡ Ἔδεσσα καὶ Πέλλα,
κατ᾽ ἔτος σὲ τιμῶσι.

Θυτῶν ὁ ποδηγέτης,
διδάσκαλος καὶ μύστης,
Καλλίνικε ἐγένου.

Ἴχνεσιν ἁγίων,
Ἱεραρχῶν ὁδεύεις,
ἐν εἰκοστῷ αἰῶνι.

Κῆρυξ εὐταξίας,
ἐν τοῖς ναοῖς ἐδείχθης,
Καλλίνικε Τρισμάκαρ.

Λάμπεις ὥσπερ ἄστρον,
πολύεδρον παρέχων,
τοῖς ὀρθοδόξοις χάριν.

Μανίαν τοῦ βελίαρ,
διασκεδάζεις πάτερ,
Καλλίνικε εὐχαῖς σου.

Νοΐ σου καὶ καρδίᾳ,
καὶ χείλεσι θυσίαν,
τελεῖς τὴν τοῦ Κυρίου.

Ξενίας τῶν πενήτων,
ἐπεμελήθης πάτερ,
Καλλίνικε ποιμάντωρ.

Ὁ εὐσεβής σου κλῆρος,
τῆς Ἀλμωπίας πάσης,
γεραίρει σε Τρισμάκαρ.

**Π**ατὴρ ἡμῶν ἐφάνης,
φιλόστοργος ἐν πᾶσι,
**Κ**αλλίνικε θεόφρον.

**Ῥ**ωσθεὶς θείᾳ δυνάμει,
τοὺς σὲ συκοφαντοῦντας,
ὑπέμεινας γενναίως.

**Σ**τρατείᾳ Ἐπισκόπων,
ἁγίων ἠριθμήθης,
**Κ**αλλίνικε παμμάκαρ.

**Τ**ὴν νόσον τῆς σαρκός σου,
ὡς ὁ Ἰὼβ ἐν γήρει,
**Κ**αλλίνικε ἀντέχεις.

**Ὑ**πὸ τῶν σὲ φιλούντων,
ἡ μνήμη σου ἐν ὕμνοις,
τιμᾶται γηθοσύνως.

**Φ**ωτίζεις τοῖς σοῖς λόγοις,
τὴν ἄγνοιαν ἀνθρώπων,
**Κ**αλλίνικε ἀρκούντως.

**Χ**αρὰν πολλὴν παρέχει,
τοῖς προσκυνοῦσι πάτερ,
ἡ λάρναξ τῶν ὀστῶν σου.

**Ψ**αλμοὺς πρὸς σὲ ἡ κόρη,
ἡ ἐξ ἐπιληψίας,
θεραπευθεῖσα ᾄδει.

Ὦ πάτερ ταῖς λιταῖς σου,
Καλλίνικε μὴ παύσῃ,
ὑπὲρ ἡμῶν πρεσβεύων.

Δόξα.

Τριάδος δοῦλος ὤφθης,
Καλλίνικε ἐν βίῳ,
ποιῶν τὰ τοῦ Κυρίου.

Καὶ Νῦν.

Παρθένε Θεοτόκε,
Χριστοῦ Θεοῦ ἡ μήτηρ,
προστάτευε τὸν κόσμον.